2577

15 Octobre 1867

611 3
№ 2577

ΕΠΙ ΤΩΝ ΑΙΣΙΩΝ ΓΑΜΩΝ

# ΤΟΥ ΜΕΓΑΛΕΙΟΤΑΤΟΥ ΒΑΣΙΛΕΩΣ ΤΩΝ ΕΛΛΗΝΩΝ

## ΓΕΩΡΓΙΟΥ Α΄.

ΜΕΤΑ ΤΗΣ ΡΩΣΣΙΔΟΣ ΗΓΕΜΟΝΟΠΑΙΔΟΣ

## ΟΛΓΑΣ.

Κοῦραι Μνημοσύνης Ἑλικωνίδες, ἄρχετ' ἀείδειν·
Ἑλλήνων μεδέοντα ΓΕΩΡΓΙΟΝ ἠδὲ καὶ ΟΛΓΑΝ
Κλείουσαι, ζεῦγος Βασιλήϊον, ἀγλαότιμον·
Τοὺς νῦν Ὑψιμέδων, κατανεύσας μήτιδι πυκνῇ,
Ζεῦξ' ἐρόεντι γάμῳ ἐνὶ δώμασι Κωνσταντίνου,
Αὐτοκασιγνήτου Βασιλῆος Ἀλεξάνδροιο,
Ὅς ῥα Ὑπερβορέων ἀνδρῶν κατὰ δῆμον ἀνάσσει.
Τοῖσιν ὁμὰ φρονέειν τε, καὶ ἤματα μακρὰ βιῶναι,
Προφρονέως δόμεναι λισσώμεθα Παμμεδέοντα·
Ὄλβῳ τε πλούτῳ τε ἀριπρεπέας βασιλεύειν,
Καὶ παῖδας γείνασθαι ἀμύμονας, ἔξοχ' ἀρίστους·
Αὐτὸν δὲ κρείοντα Γεώργιον, εὖχος ἀνάκτων,
Τετραόρων Νίκης ὀχέων ἐπιβασκέμεν αἰεί·
Ὅς καὶ ἐνὶ πτολέμῳ περὶ πάντων ἔσσεται ἄλλων,
Ἀνδρῶν δυσμενέων κρατερὰς στίχας ἐξαλαπάζων·
Πολλῶν δ' ἡρώων κταμένων ἀποτίσεται ποινήν·
Καὶ ῥα Πανελλήνων ἡγήσεται Βόσπορον εἴσω,
Ἀμφίαλόν τε πόλιν βασιληΐδα, ἔνθα τ' ἔπειτα
Ἡμιφαοῦς κύκλοιο δυσώνυμος ἵσταται εἰκών·
Τὴν μὲν ἀϊστώσει μετὰ ἔθνεσιν ἤματα πάντα·
Θεσπέσιον δ' ἄρα σῆμ' ἐπὶ τείχεσιν Ἑπταλόφοιο
Στήσει εὐσεβέως, ζάθεον τέμενος καθαγίζων·
Πᾶσι δ' ἐλευθερίην τε καὶ ἄσπετον ὄλβον ὀρέξει,
Παυσαμένοις πολέμων, καὶ ἀγώνων ἀνδροδαΐκτων.

Χ. ΣΤΡΑΤΗΓΟΣ.

Αρ. Εισ. 503
VI 29
ΑΝΑΓΝΩΣΤΙΚΗ ΕΤΑΙΡΙΑ ΚΕΡΚΥΡΑΣ ΒΙΒΛΙΟΘΗΚΗ